αὐτὴν ἐν Λεβαδείᾳ λουομένην ἐπὶ τῇ κρήνῃ τῇ Ἑρκύνῃ·
ἔμελλε γὰρ τῷ Διὶ τῷ βασιλεῖ κανηφορεῖν. | ἀλλ' ὁ Καλ- 772
λισθένης γε πλέον ἐφέρετο· ἦν γὰρ καὶ γένει προσήκων
τῇ κόρῃ. ἀπορῶν δὲ τῷ πράγματι ὁ Θεοφάνης, ἐδεδίει
γὰρ τὸν Στράτωνα πλούτῳ τε καὶ γένει σχεδὸν ἁπάντων
διαφέροντα τῶν Βοιωτῶν, τὴν αἵρεσιν ἐβούλετο τῷ
Τροφωνίῳ ἐπιτρέψαι. καὶ ὁ Στράτων, ἀνεπέπειστο
γὰρ ὑπὸ τῶν τῆς παρθένου οἰκετῶν ὡς πρὸς αὐτὸν
μᾶλλον ἐκείνη ῥέποι, ἠξίου ἐπ' αὐτῇ ποιεῖσθαι τῇ γαμου-
μένῃ τὴν ἐκλογήν. ὡς δὲ τῆς παιδὸς ὁ Θεοφάνης ἐπυν-
θάνετο ἐν ὄψει πάντων, ἡ δὲ τὸν Καλλισθένην προὔκρινεν,
εὐθὺς μὲν ὁ Στράτων δῆλος ἦν βαρέως φέρων τὴν ἀτιμίαν· B
ἡμέρας δὲ διαλιπὼν δύο προσῆλθε τῷ Θεοφάνει καὶ τῷ
Καλλισθένει, ἀξιῶν τὴν φιλίαν αὐτῷ πρὸς αὐτοὺς δια-
φυλάττεσθαι, εἰ καὶ τοῦ γάμου ἐφθονήθη ὑπὸ δαι-
μονίου τινός. οἱ δ' ἐπῄνουν τὰ λεγόμενα, ὥστε καὶ ἐπὶ
τὴν ἑστίασιν τῶν γάμων παρεκάλουν αὐτόν. ὁ δὲ παρε-
σκευασμένος ἑταίρων ὄχλον καὶ πλῆθος οὐκ ὀλίγον θε-
ραπόντων, διεσπαρμένους παρὰ τούτοις καὶ λανθάνοντας,
ἕως ἡ κόρη κατὰ τὰ πάτρια ἐπὶ τὴν Κισσόεσσαν καλου-
μένην κρήνην κατῄει ταῖς Νύμφαις τὰ προτέλεια θύσουσα,
τότε δὴ συνδραμόντες πάντες οἱ λοχῶντες ἐκείνῳ συνελάμ- C
βανον αὐτήν. καὶ ὁ Στράτων γ' εἴχετο τῆς παρθένου·
ἀντελαμβάνετο δ' ὡς εἰκὸς ὁ Καλλισθένης ἐν μέρει
καὶ οἱ σὺν αὐτῷ, ἕως ἔλαθεν ἡ παῖς ἐν χερσὶ τῶν ἀνθελ-
κόντων διαφθαρεῖσα. ὁ Καλλισθένης μὲν οὖν παραχρῆμα
ἀφανὴς ἐγένετο, εἴτε διαχρησάμενος ἑαυτὸν εἴτε φυγὰς
ἀπελθὼν ἐκ τῆς Βοιωτίας· οὐκ εἶχε δ' οὖν τις εἰπεῖν
ὅ τι καὶ πεπόνθοι. ὁ δὲ Στράτων φανερῶς ἐπικατέσφαξεν
ἑαυτὸν τῇ παρθένῳ.